# Paroemiae (e cod. Leidense)

## ΠΑΡΟΙΜΙΑΙ ΣΥΛΛΕΓΕΙΣΑΙ ΠΑΡΑ ΤΟΥ ἉΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ.

Α.

1.1 Ἀφροδίσιος ὅρκος: οὐκ ἐμποίνιμος. ἐπὶ γὰρ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται. 1.2 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γη ράσκων ἀετὸς κρείττων ἢ νεάζοντος ὄρνιθος. 1.3 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὅτι οὐδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. 1.4 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι: ὅτι προσήκει τινὰ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυ πόδων. 1.5 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τὴν αἴτησιν εἰώθασι λαμβάνειν. 1.6 Αἴρειν μασχάλην: ἀντὶ τοῦ εὐωχεῖσθαι. εἴρηται ἀπὸ τῶν ἀγροίκως ὀρχουμένων. 1.7 Ἀεὶ κολοιὸς πρὸς κολοιόν· καί· Ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς εἰς τὸν ὁμοῖον. 1.8 Ἀμαλθείας κέρας: ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας, δι' οὗ ἐπέβλυσεν αὐτῇ πᾶν ὃ ἂν ᾐτήσατο. 1.9 Ἀετὸν ἵπτασθαι διδάσκεις: ἐπὶ τῶν βουλομένων διδάσκειν τοὺς σοφωτέρους αὐτῶν. 1.10 Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία. 1.11 Ἀγὼν πρόφασιν οὐκ ἀναμένει: ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς Πλάτων· οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι· καὶ ἐν Νόμων ἕκτῳ· ἀλλὰ γὰρ ἀγῶνα προφάσεις φασὶν οὐ πάνυ δέχεσθαι. Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ· Ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους. καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄. 1.12 Ἄϊδος κυνῆ: ἐπὶ τῶν ἐπικρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαῦτα γὰρ τὰ τοῦ Ἄϊδος. 1.13 Ἄκρῳ ἅψασθαι δακτύλῳ: ἐπὶ τῶν βλαβερῶν. 1.14 Αἵμασι κλαίειν: καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δακρυόντων. 1.15 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει. 1.16 Ἄμμες ποτ' ἦμεν. 1.17 Ἀεὶ τὰ πέρυσι βελτίω. 1.18 Ἀνὴρ ὁ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν. 1.19 Ἄπληστος πίθος: ἐπὶ τῶν γαστριμάργων. 1.20 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: ἁλιέα φασί ποτε τοὺς ἁλισκομένους ἰχθύας χειρὶ λαβόντα, ὑπ' αὐτῶν πλη γέντα τοῦτο τὸ παροιμιῶδες εἰπεῖν. 1.21 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄφρονας. 1.22 Ἅπας ἐχῖνος τραχύς: ἐπὶ τῶν δυσκόλων καὶ δυσ τρόπων. ἐξαιρέτως χρειῶδες ἐπὶ τῶν κακωτικῶν ἢ εὐνούχων. 1.23 Ἁλῶν μέδιμνον ἀποφαγών: ἐπὶ τῶν ἀχαρίστων. ἥδε ἡ παροιμία τῶν ἠθικῶν. 1.24 Ἀνεῳγμέναι Μουσῶν θύραι: ἐπὶ τῶν ἐξ ἑτοίμου τὰ τῶν τεχνῶν κάλλιστα ἀποδιδόντων γνώμῃ. 1.25 Ἀρχαϊκὰ φρονεῖς: ἤτοι εὐήθη. 1.26 Ἀβυδηνὸν ἐπιφόρημα: τὸ ἀηδές, διὰ τὸ τοὺς Ἀβυδηνοὺς μετὰ δεῖπνον προσάγειν τοὺς ἑαυτῶν παῖδας τοῖς εὐωχουμένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδίαν ἐμποιοῦντας τοῖς δαιτυμόσι. 1.27 Ἅβρωνος βίος: ὁ πολυτελής. Ἅβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος. 1.28 Ἀεὶ γεωμόρος εἰς νέωτα πλούσιος. 1.29 Ἀδεὲς δέος: ἐπὶ τῶν μάτην δεδοικότων. 1.30 Ἀγαμεμνόνεια φρέατα: Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν. 1.31 Ἀγαμέμνονος θυσία: ἐπὶ τῶν δυσπειθῶν καὶ σκλη ρῶν. θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη. 1.32 Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον: ἐπὶ τῶν τὰ δεύτερα τισὶ διδόντων. 1.33 Ἀγαθώνειος αὔλησις: ἡ ἡδίστη καὶ εὔφραντή. 1.34 Ἀνδριὰς σφυρήλατος: ἐπὶ τῶν ἀναισθήτων. 1.35 Ἀγέλαστος πέτρα: ἐπὶ τῶν λύπης προξένων. ἐφ' ᾗ ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει, ἐκάθισεν. 1.36 Ἀγαθῶν θάλασσα· καί· Ἀγαθῶν θησαυρός· καί·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀγαθῶν ἀγαθίδες· καί· Ἀγαθῶν μυρμηκιά: ἐπὶ πλήθους ἀγαθῶν λέγεται. 1.37 Ἁγνότερος πηδαλίου: παρόσον ἐν θαλάττῃ τὸ πη δάλιον ἅττον, † καθαρὸν ἐστίν. 1.38 Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν ἰσχυρῶν. 1.39 Ἅλις δρυός: ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα με ταβαλλομένων. παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ μετεῖχον σίτου καὶ οἴνου. 1.40 Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει: ταύτην Ἱππόλυτος πρὸς Φαίδραν εἶπε, φάσκουσαν φιλεῖν αὐτὸν σφόδρα. 1.41 Αὐτοὶ χελώνας ἐσθίετε, εἴπερ εἴχετε: ἁλιεῖς ἡλίευσαν μεγάλην χελώνην καὶ ἀνασπάσαντες αὐτὴν, ἐμέ ριζον τὴν παροῦσαν. τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπε. 1.42 Ἂν οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. 1.43 Αἱροῦντες ᾑρήμεθα: ἐπὶ τῶν ἐλπισάντων νικᾶν τινάς, εἶθ' ὑπ' ἐκείνων ἁλόντων. 1.44 Αἰάντειος γέλως: ἐπὶ τῶν παραφρόνως γελώντων. 1.45 Ἀνίπτοις χερσίν: ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων. 1.46 Ἀκέφαλος μῦθος: ἐπὶ τῶν ἀτελῆ λεγόντων. 1.47 Ἄλλως ᾄδεις: ἐπὶ τῶν μάτην πονούντων. 1.48 Ἅμ' ἔπος, ἅμ' ἔργον: ἐπὶ τῶν ὀξέως ἀνυομένων. 1.49 Ἀντιπελαργεῖν: ἀντιδιδόναι χάριτας. λέγεται τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. 1.50 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσ δοκήτως σωζομένων. 1.51 Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων. 1.52 Αἰεὶ γέροντι νέαν ποτιβάλλειν κούρην: ἐπὶ τῶν πρεσβυτέρων βουλομένων νέαις συνευνάζεσθαι. 1.53 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: ἐπὶ τῶν εὐγενῶν. 1.54 Ἀνέμου παιδίον: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων. 1.55 Ἀνίπτοις ποσὶν ἀναβαίνειν ἐπὶ τὸ στέγος: ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων. 1.56 Ἀπὸ βαλβῖδος: ἤτοι ἀπ' ἀρχῆς δεῖ καλὸν εἶναι. 1.57 Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν κακὰ ἀντὶ κακῶν ἐπιδιδόντων. 1.58 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν μωρὰ διηγουμένων· ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ἐπεγράφετο τὰ γιγνόμενα, παμπάλαιος. 1.59 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων. ὡσανεὶ, πάνυ μου καταφρονεῖς. 1.60 Ἀργούντων χορός: ἐπὶ τῶν κακὰ ποιούντων. 1.61 Ἄνω κάτω πάντα: ἐπὶ τῶν τὴν τάξιν μεταστρε φόντων. Μένανδρος Ἐγχειριδίῳ· καὶ ἐν Χήρᾳ· Τὸ λεγό μενον τοῦτ' ἐστὶ νῦν, Τἄνω κάτω, φασί, τὰ κάτω δὲ ἄνω. 1.62 Ἀκίνητα κινεῖν: παροιμία καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ κινεῖν μηδὲ βωμοὺς ἢ τάφους ἢ ὅρους. 1.63 Ἀφ' Ἑστίας ἄρχεσθαι: ἐπὶ τῶν ἐν δυνάμει γενομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. φέρεται δέ τις περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχήν φασι τὸν Δία τὴν βασιλείαν δια δεξάμενον ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅτι ἂν βούλοιτο· τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων.

Β.

1.64t Βάσανος λίθος: ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. 1.65 Βασίλειος ὀφθαλμός: τὸν ἐπί τινα ἀρχὴν πεμπό μενον οὕτως ἐκάλουν. 1.66 Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων. 1.67 Βάλλ' ἐς ὕδωρ: ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν 1.67 ὀλέθρου ἀξίων. 1.68 Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις. 1.69 Βὴξ ἀντὶ πορδῆς: ἐπὶ περδόντων καὶ προσποιουμέ νων βήχειν ἢ γελᾶν. ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων. 1.70 Βοῦς ἐν πόλει: ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν. 1.71 Βατράχῳ ὕδωρ· καί· Στέαρ γαλῇ: ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. 1.72 Βάλλεις μήλοις: ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων. 1.73 Βαλανεύς: ἐπὶ τοῦ πολυπράγμονος. οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπράγμονες εἰσίν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γ.

1.74t Γλυκὺς ἀπείρων πόλεμος: ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους. 1.75 Γέλως Ἰωνικός: ἐπὶ τῶν ἐκλελυμένων. εἰς τοῦτο γὰρ οἱ Ἴωνες διεβάλλοντο. 1.76 Γνῶθι σαυτόν: ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. 1.77 Γυμνότερος λεβηρίδος: λεβηρὶς τὸ δέρμα τοῦ ὄφεως ἢ τοῦ ἐμβρύου. 1.78 Γυμνῷ φυλακὴν ἐπιτάττεις: ἐπὶ τῶν μὴ δυναμέ νων τὰ προστεταγμένα πληροῦν. 1.79 Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος: ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων. 1.80 Γηρᾷ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ. 1.81 Γυμνῇ τῇ κεφαλῇ: ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν. 1.82 Γυμνὸς ὡς ἐκ μήτρας: ἐπὶ τῶν ἀπόρων. 1.83 Γυναικὸς φρένας: ἐπὶ τῶν ἀνοήτων. 1.84 Γλῶσσα ποῦ πορεύῃ πόλιν κατορθώσασα καὶ πάλιν καταστρέφουσα: ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόν των ἢ ὠφελούντων. 1.85 Γλαῦξ ἵπταται: ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβο λον τοῖς Ἀθηναίοις ἐνομίζετο. 1.86 Γλυκὺς ἀγκών: ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ὑπὸ τῶν πλεόντων κατὰ ἀντίφρασιν ἴσως, διὰ τὸ δυσχερές. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρόσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν.

Δ.

1.87τ Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην: ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκαις δίκας. καὶ ἐπὶ τῶν πυ κναῖς προσπιπτόντων συμφοραῖς. 1.88 Δεινοὶ πλέκειν μηχανὰς Αἰγύπτιοι. 1.89 Δὶς παῖδες οἱ γέροντες: ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων. 1.90 Δαιδάλεια ποιήματα: ἐπὶ θαυμασμοῦ. 1.91 Δικαιότερος σταχάνης: ἐπὶ τῶν τὰ δίκαια ἀγα πώντων. οἱ γὰρ Δωριεῖς σταχάνην τὴν τρυτάνην καλοῦσι διὰ τὴν στάσιν. 1.92 Διωλύγιον κακόν: ἐπὶ τῶν μέγα τι κακὸν ὑφιστα μένων. 1.93 Διὸς ψῆφος: ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων. 1.94 Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλιστ' ἀπόλ λυται: φθαρέντος γὰρ τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται. 1.95 Δίζεσθαι βιοτὴν, ἀρετὴν δ' ὅταν ᾖ βίος. 1.96 Δὶς καὶ τρὶς τὸ καλόν: παροιμία, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν.

Ε.

1.97t Ἐν ἅλῳ δρασκάζεις: ἤγουν κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν. 1.98 Εἴληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἁλισκο μένων. 1.99 Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος, 1.100 Ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ, πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιεν. 2.1 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων. 2.2 Εἰς θεοῦ ὦτα ἦλθεν: ἐπὶ μεγάλων πραγμάτων. 2.3 Εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ. 2.4 Ἐν νυκτὶ βουλήν: ἐπειδὴ ἡ νὺξ παῤῥησίαν δίδωσι βουλεύεσθαι. 2.5 Εἰς πάγας ὁ λύκος: ἐπὶ τῶν ἁρπαζόντων μὲν, κα τασχεθέντων δέ. 2.6 Εἰς μελίττας ἐκώμασας: ἐπὶ τῶν κακουμένων ἀθρόως. 2.7 Ἐν πέντε κριτῶν γούνασι: τὸ γὰρ παλαιὸν πέντε κριταὶ ἔκρινον τοὺς κωμικούς· ἢ ὅτι ἐν γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται. 2.8 Ἐκ λύκου στόματος: ἐπὶ τῶν ἀνελπίστως παρὰ τινῶν τι λαμβανόντων. 2.9 Ἐλέφαντος οὐδὲν διαφέρει: ἐπὶ τῶν ἀναισθήτων. 2.10 Εἰς Τροιζῆνα βαδίζεις: ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων. 2.11 Ἐλάφειος ἀνήρ: ὁ δειλός. 2.12 Εὐμεταβολώτερος κοθόρνου: ὑποδήματος εἶδος ὁ κόθορνος, ἐφαρμόζων τοῖς δυσὶ ποσίν. 2.13 Ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ: ἐπὶ τῶν δυσχρήστοις παραπεσόντων. 2.14 Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν. 2.15 Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα: ἐπὶ τῶν ἀλυ σιτελῶν δώρων. 2.16 Ἐν ἅλῳ δρασκάζεις: ἤτοι ἐν ἅλῳ κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν. 2.17 Εἶμι γὰρ ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λό γου: ἐπὶ μεγάλων καὶ ἀναντιῤῥήτων καὶ μεγάλην ἰσχὺν ἐχόντων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱστόρηται γὰρ, ὡς τῶν ἐν τῇ Ἀσίᾳ πόλεων ἐκκλη σιαζουσῶν καὶ ψήφους καταβαλλομένων μηδὲν τέως ἰσχύειν αὐτὰς, εἰ μὴ καὶ ἡ τοῦ Κολοφῶνος καταβληθεῖσα τὸ κῦρος τοῖς ἐψηφισμένοις ἐδίδου. 2.18 Ἐγγύα, πάρα δ' ἄτα: ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττομένων. λέγουσι δὲ αὐτὴν ἐν Δελφοῖς ἀναγεγράφθαι· οἱ δὲ εἶπον οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη· καὶ παρέχουσι μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα· Εἰς ἐγγύας τρεῖς πεσὼν, ἀνηρέθην. οὕτω ποτὲ ἐν Δελφοῖσιν ἦν τὰ γράμματα, τὴν ἐγγύην ἄτην. Ἀλλ' ἐγὼ φιλέταιρον εἶχον ἔθος. ὅτι δέ ἐστιν ἡ ἐν Δελφοῖς ἐγγύα πάρα δ' ἄτα δῆλον ποιεῖ Χαρμίδῃ ὁ Πλάτων, λέγων· ὃ δή μοι δοκοῦσι πα θεῖν καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύα, πάρα δ' ἄτα.

Z.

2.20t Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητος. τὸν γὰρ Δία φασὶν εἰς διφθέρας γράφειν τὰ πραττόμενα τοῖς ἀνθρώποις. 2. Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως ζώντων. ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβὴ ἐγένετο. 2.21 Ζῇ χύτρα, ζῇ φιλία.

H.

2.22t Ἡ κύων ἐν τῇ φάτνῃ: πρὸς τοὺς μήτε ἑαυτοῖς χρω μένους μήτε ἄλλους ἐῶντας. παρόσον ἡ κύων κριθὴν οὐ φάγει μένουσα ἐν φάτνῃ καὶ τὸν ἵππον οὐκ ἐᾷ.

Θ

2.23t. Θυμὸς ἔσχατον γηράσκει: λέγεται διὰ τοὺς πρεσβυτέρους. ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι. 2.24 Θαλάττῃ ἐκ χαράδρας ὕδωρ: ἐπὶ τῶν τοῖς μεγά λοις τὰ μικρὰ προσφιλοτιμουμένων. 2.25 Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων. 2.26 Θυμόσοφος: ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν. 2.27 Θάμυρις μαίνεται: ἐπὶ τῶν συνετῶς μὲν βιούν των, δοκούντων δέ τισι μαίνεσθαι. Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ τοῦ δεσπότου αὐτοῦ ἐν τῷ ἱερῷ καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος, τὴν οὐσίαν αὐτοῦ δοὺς ἀπεδήμησεν. ὃν οἱ ὁρῶντες ἔλεγον· Μαίνεται Θάμυρις. 2.28 Θεὸς ἡ Ἀναίδεια: ἐπὶ τῶν ἀναισχυντίᾳ ὠφρυωμένων.

I.

2.29t Ἰλιὰς κακῶν ἐπῄει: ἐπὶ ταῖς μεγίσταις συμφοραῖς. 2.30 Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. 2.31 Ἰχθὺν νήχεσθαι διδάσκεις: ἐπὶ διδασκόντων, ἃ ἐπίστανται. 2.32 Ἰαλέμου ψυχρότερος: Ἰάλεμον τὸν θρῆνον φασί· λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν. 2.33 Ἱππεῖς προκαλεῖσθαι εἰς πεδίον: ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονεστέρους αὐτῶν εἰς ἔριν προ καλουμένων.

K.

2.34t Κακοῦ κόρακος κακὸν ᾠόν: ὅτι ἄβρωτόν ἐστι αὐτὸ τὸ ζῷον, ἀλλὰ δὴ καὶ τὸ ᾠὸν αὐτοῦ. ἢ ἀπὸ Κόρακος ῥή \τορος πρώτου διδάξαντος τὴν ῥητορικήν· τὸν γὰρ μαθη τὴν αὐτοῦ μισθὸν ἀπαιτῶν, εἰς τὸ δικαστήριον, εἶπεν ὁ αὐτὸς μαθητὴς, ἴωμεν, καὶ εἰ μὲν νικήσειας, οὐ μεμά θηκα· εἰ δὲ ἡττηθήσῃ, οὐ λήψῃ μισθούς. 2.35 Καθώσπερ αἱ τίτθαι σιτίζεις κακῶς. 2.36 Κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον. 2.37 Κἂν ἐπὶ νεκροῦ κερδαίνειν: ἐπὶ τῶν κερδαινόν των ἐκ πενήτων καὶ τεθνεώτων. 2.38 Κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥοῦν φέρεται. 2.39 Καρκίνος λαγωὸν αἱρεῖ: ἐπὶ τῶν ἀδυνάτων. 2.40 Καρκίνος λαιμὸν αἱρεῖ: ἐπὶ τῶν ἀδυνάτων. 2.41 Κανθάρου μελάντερος: καί· Κανθάρου σοφώ τερος: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. 2.42 Κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὁμίχλην: ἐπὶ τῶν κατ' ἀξίαν τιμωρουμένων. 2.43 Κακῶν πανήγυρις: ἐπὶ πλήθους κακῶν. 2.44 Κηροῦ εὐπλαστότερος: ἐπὶ τῶν ῥᾳδίως τι ποι ούντων. 2.45 Καδμεία νίκη: ἡ ἐπὶ κακῷ νίκη· Ἐτεοκλῆς καὶ Πο λυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κάδμου, οὗ τὴν βασι λείαν διεδέξαντο, συνέθεντο πρὸς ἀλλήλους, ἕνα καθ' ἕνα χρόνον βασιλεύειν αὐτούς. βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι, καὶ τῷ πολέμῳ ἀλλήλους διεχειρίσαντο καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον. 2.46 Καθ' ἑαυτοῦ Βελλεροφόντης: ἐπὶ τῶν καθ' ἑαυ τῶν τι ποιούντων. 2.47 Κερκωπίζειν: ἀντὶ τοῦ δουλεύεσθαι καὶ ἀπατᾶν. με τενήνεκται δὲ ἀπὸ τῶν Κερκώπων. 2.48 Κατὰ βοὸς εὔχου: ἐπὶ τῶν μέγα βοώντων. 2.49 Κωφότερος κίχλης: παρόσον ἄφωνον τὸ ζῷον. 2.50 Κανθάρου σκιά: ἐπὶ τῶν φοβουμένων, ἔνθα οὐ δεῖ. 2.51 Κορυδέως εἰδεχθέστερος: ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο. 2.52 Κεκύλισται ὁ πίθος: ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων τι μάτην ποιούντων. 2.53 Κύρβεις **: ξύλα πινακοειδῆ, ἐν οἷς τοὺς νόμους ἔγραφον. 2.54 Κοινὰ τὰ τῶν φίλων. 2.55 Κατὰ ῥοῦν φέρεται: ἐπὶ τῶν εὐπλοούντων. 2.56 Κυνόσαργες: ὁ τόπος, ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο. κύων γάρ τις ἡρπακὼς κρέας, ἐκεῖ ἀπεκόμισεν· ὅθεν καὶ Κυνόσαργες. 2.57 Καρπὸν, ὃν ἔσπειρας, θέριζε: ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· Εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο. καὶ πάλιν· Ὃς δὲ κακὰ σπείρει, θεριεῖ κακὰ κήδεα παισίν.

Λ.

2.58t Λύδιον ἅρμα: ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων. ὁ γὰρ Πέλοψ Λυδὸς ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι. καὶ ἔκτοτε ἡ παροιμία, παρὰ Λύδιον ἅρμα θέειν. ἡ παρὰ πρόθεσις σημαίνει καὶ τὴν πλησιότητα ὡς τό, ἕζετο, παρέζετο· καὶ τὴν πλείονα σχέσιν, ὡς τό, ὁρμῶ, παρορμῶ. σημαίνει καὶ τὴν ἐκτὸς σχέσιν, τὴν ἔξω τοῦ πρέποντος, ὡς τό, ἄνομος, παράνο μος. ὡς τό· εἰ καὶ πεζοὶ ἦμεν πάρα Λύδιον ἅρμα θέοντες· ἀντὶ τοῦ· ἔξω καὶ μακρὰν τοῦ Λυδικοῦ ἅρμα τος τρέχοντες κατὰ σύγκρισιν· τάχιστα γὰρ τὰ Λύδια ἅρ ματα. τοιοῦτος δὲ ὁ μέγας Βασίλειος, ἅρμα Λύδιον. 2.59 Λεπτὴν πλέκει: ἐπὶ τῶν πενιχρῶν. 2.60 Λιβυκὸν θηρίον: ἐπὶ τῶν πολυτρόπων, διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι. 2.61 Λυγκέως ὅμοιος: ὁ ὀξυδερκής. 2.62 Λήθαργος κύων: ὁ προσσαίνων μὲν, δάκνων δὲ λάθρα. 2.63 Λυδὸς ἐν μεσημβρίᾳ: ἐπὶ τῶν ἀκολάστων, ὡς ταύ ταις ταῖς ὥραις ἀκολασταινόντων. οἱ γὰρ Λυδοὶ κωμῳδοῦν ται ταῖς χερσὶν αὐτῶν πληροῦντες τὰ ἀφροδίσια. ἡ δὲ παρ οιμία αὕτη ὁμοία τῇ· Αἰπόλος ἐν καύματι, ἐπειδὴ ἐν ταῖς τοιαύταις ὥραις οἱ αἰπόλοι ἀκολασταίνουσι. 2.64 Λύκου πτερά: ἐπὶ τῶν ἀδυνάτων. 2.65 Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις: ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων. 2.66 Λύκου ῥήματα: ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδι κοῦντος. ἰδὼν γὰρ λύκος ποιμένα προβάτεια ἐσθίοντα, εἶ πεν· ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ' ἐποίουν. 2.67 Λευκῷ λίθῳ λευκὴ στάθμη: ἐπὶ τῶν ἄδηλα ἀδή λοις σημειουμένων κἂν τούτῳ μηδὲν συνιέντων. ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐ δύναται δεικνύναι διὰ τὸ μὴ παραλλάττειν, καθάπερ ἡ διὰ τῆς μίλτου γιγνομένη. ὡς Σοφοκλῆς Κηδαλίωνι· τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη· ἔστι δὲ στάθμη σπάρτος τεκτονική. κατ' ἔλλειψιν δὲ εἴρηται ἡ παροιμία· διὸ καὶ ἀσαφὴς ἐγένετο· τὸ δὲ ὅλον ἐστὶ τοι οῦτον· ἐν λευκῷ λίθῳ λευκὴ στάθμη.

Μ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2.68t Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει: ἐπὶ τῶν ἐκ μικροῦ κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρ νεον μονῆρες καὶ μονότροπον. 2.69 Μέλιτος μυελός: ἐπὶ τοῦ ἄγαν ἡδέος. 2.70 Μὴ παιδὶ μάχαιραν: μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα, ἵνα μὴ καθ' ἑαυτῶν χρήσωνται. 2.71 Μία χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία μέλισσα μέλι. 2.72 Μασχάλην αἴρειν: ἐπὶ τῶν πολλάκις πινόντων. 2.73 Μὴ μελαμπύγου τύχῃς: μή τινος ἀνδρείου καὶ ἰσχυροῦ. 2.74 Μὴ πῦρ ἐπὶ πῦρ. 2.75 Μὴ κινεῖν κακὸν εὖ κείμενον. 2.76 Μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάσσης λεγόμενοι χόες: ἐπὶ τοῦ πολυμαθοῦς καὶ ἐμπείρου. 2.77 Μυσῶν ἔσχατος: ἐπὶ τῶν εὐτελεστάτων. 2.78 Μὴ κινεῖν κακὸν εὖ κείμενον: ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων. ταύτης μέμνηται καὶ Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα· «καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον.» μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέσεισε. βασι λέως δὲ βουλομένου αὐτὸν ἀναστῆσαι φοβούμενοι οἱ Ῥόδιοι μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο. 2.79 Μηδὲν ἄγαν: ἑνὸς τῶν ἑπτὰ σοφῶν τὸ ἀπόφθεγμα, ὅμοιον τῷ· μηδὲν ὑπὲρ τὸ μέτρον.

N.

2.80t Νῷ πείθου: ὁμοία τῇ· θεῷ ἕπου. 2.81 Νέμεσις δέ γε παρὰ πόδας βαίνει: παρόσον μέτ εισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. 2.82τ O. Οἴκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε: ἐπὶ τῶν ὅπου μὴ προσήκει ἐπιδεικνυμένων τὰ ἀηδῆ ἐπιτηδεύματα καὶ διαβεβλημένα. Μιλήσιος γὰρ παρὰ Λακεδαιμονίοις δημη γορῶν καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα. 2.83 Οἶνος, ὦ παῖδες, ἀλήθεια. 2.84 Οὔθ' ὕεται οὔθ' ἡλιοῦται: ἐπὶ τῶν ἔξω πάσης φροντίδος ἑστώτων. 2.85 Οὐκ ἐπαινεθείης οὐδὲ παρὰ δεῖπνα: ἐπὶ τῶν μηδενὸς ἀξίων· εἰώθασι γὰρ ἐν τοῖς δείπνοις τὸν τελευτή σαντα ἐπαινεῖν, εἰ καὶ φαῦλος ἦν. 2.86 Οὐ μὴ χαμαὶ πέσῃ: ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόν των, ἀλλ' ἐπιτυγχανόντων. ἥδε τοῦ Πλάτωνος. 2.87 Ὁ κνὶψ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπιπτόντων. κνὶψ γὰρ θηρίον ξυλοφάγον. 2.88 Οἴκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων. 2.89 Οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός: οἱ τῶν πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσιν ἀποβάλλουσι. 2.90 Ὁ μῦθος ἀπώλετο: ἐπὶ τῶν τὴν διήγησιν καὶ μὴ ἐπὶ πέρας ἀγόντων. 2.91 Ὁ μῦθος ἀπώλετο: τούτῳ τῷ λόγῳ χρῶνται οἱ λέ γοντές τι πρὸς τοὺς μὴ προσέχοντας. 2.92 Ὁ τὸν ποταμὸν καθηγούμενος αὐτὸ δείξει: ἐπὶ τῶν ἐκ τῆς πείρας γιγνωσκομένων. κατιόντων γάρ τι νων εἰς ποταμὸν πρὸς τὸ διαπερᾶσαι, ἤρετό τις τὸν προ ηγούμενον, εἰ βάθος ἔχει τὸ ὕδωρ; ὁ δὲ ἔφη· αὐτὸ δείξει. 2.93 Ὀστράκου περιστροφή: ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων, ἢ ἐπὶ τῶν εὐμεταβόλων. 2.94 Οὐ πόλεμον ἀγγέλλεις: ἐπὶ τῶν ἀγαθὰ ἀγγελ λόντων.

Π.

2.95t Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος: ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων. 2.96 Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς: τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν. 2.97 Πρὸ τῆς νίκης ἐγκώμιον ᾄδεις: ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα. 2.98 Παθὼν δέ τε νήπιος ἔγνω. 2.99 Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους. 2.100 Πενίη σοφίην ἔλαχεν: ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι. 3.1 Πάνθ' ὑπὸ μίας Μύκονος: ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων. 3.2 Πονηρὰ κατὰ τρυγόνα ψάλλεις: ἐπὶ τῶν ἐπιπόνως ζώντων. 3.3 Πολύποδος ὁμοιότης: πρὸς τοὺς ἐξομοιοῦντας ἑαυτούς. 3.4 Πάντα κάλων ἐφέντες· ἢ σείσαντες: ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ σχοινία ἢ τὰ ἄρμενα χαλώντων ναυτῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ρ.

3.5t Ῥαδαμάνθυος κρίσις: ἡ δικαιοτάτη. 3.6 Ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν: ἐπὶ τῶν κυδαινόντων τινάς. 3.7 Ῥόδον ἀνεμώνῃ συγκρίνεις: ἐπὶ τῶν τὰ ἀνόμοια συμβαλλόντων. 3.8 Ῥόδα μ' εἴρηκας: ἀντὶ τοῦ· ἐμοὶ τὰ παρά σου εἰρημένα ῥόδα ἐστίν.

Σ.

3.9t Σήπινον γερόντιον: ἐπὶ τῶν ἀσθενῶν. 3.10 Σὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται: ἀντὶ τοῦ· θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.

Τ.

3.11t Τυφλότερος ἀσπάλακος: ἐπὶ τῶν παντελῶς πεπηρωμένων. 3.12 Τρυγόνος λαλίστερος: ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσιν ἠχοῦσι. 3.13 Τιθωνοῦ γῆρας: ἐπὶ τῶν πολυχρονίων. 3.14 Τὰς ἐν ᾅδου τριακάδας: τιμᾶται δὲ ἡ τριακὰς ἐν ᾅδου διὰ τὴν Ἑκάτην. καὶ γὰρ Ἀθηνᾶ καὶ Ἄρτεμις καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσι. 3.15 Τὸν Μίδου πλοῦτον καὶ Κροίσου: ἐπὶ τῶν ὑπερβολικῶς πλουτούντων. 3.16 Τροχὸς τὰ ἀνθρώπινα: ἤτοι εὐμετάβολα. 3.17 Τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ. 3.18 Τὴν ἑαυτοῦ σκιὰν δέδοικεν, ἐπὶ τῶν σφόδρα δειλοτάτων.

Υ.

3.19t Ὑπέρου περιστροφή: ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων· ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. 3.20 Ὑπέρου γυμνότερος. 3.21 Ὑπὲρ τὸν κατάλογον: ἐπὶ τῶν γεγηρακότων. 3.22 Ὑπόχαλκον τὸ χρυσίον: ἐπὶ τῶν κεκιβδηλευμένων. 3.23 Ὑπὲρ ὄνου σκιᾶς: ἐπὶ τῶν μηδενὸς ἀξίων.

Φ.

3.24τ Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος: νωθροὶ γὰρ δοκοῦσιν οἱ Φρύγες οἰκέται. 3.25 Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος. 3.26 Φρουρᾶς ᾄδων: ἐπὶ τῶν ἀγρυπνούντων. 3.27 Φρουρεῖν ἢ πλουτεῖν: ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων. 3.28 Φρουρήσεις ἐν Ναυπάκτῳ: ὅτι ὀλίγος μισθὸς ἐδίδοτο τοῖς Ναύπακτον φρουροῦσι, τῶν ἐπιτηδείων πολλοῦ πιπρασκομένων. Ενιοι δὲ, ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν γνώμῃ τοὺς φρουροὺς αὐτῆς ἀπέκτεινε. 3.29 Φιλέψιος ὅδε: ἐπὶ τῶν φιλοπαιγμόνων. οὗτος γὰρ μεταξὺ τῶν δημηγοριῶν μύθους ἔλεγε. κεκωμῴδηται δὲ εἰς πανουργίαν.

Χ.

3.30τ Χαλεπὰ τὰ καλά: Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν φασί, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι· χαλεπὰ τὰ καλά. Φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικὸν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. Οἱ δὲ τὰ χαλεπὰ ἀντὶ τοῦ ἀδυνάτου τιθέασι, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην. 3.31 Χαλάσω τὴν ἱερὰν ἄγκυραν: ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δυνατόν. 3.32 Χαμαιλέοντος εὐμεταβολώτερος: χαμαιλέων ζῷόν ἐστιν εἰς ἅπαντα τὴν χρόαν μετατρέπων. 3.33 Χελώνη μυιῶν: ἐπὶ τῶν ἀφροντιστούντων τινός. τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν. 3.34 Χειρώνειον ἕλκος: ἤτοι ἀνήκεστον. 3.35 Χθόνια λουτρά: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον γὰρ εἰς τάφους λουτρά. 3.36 Χύτραν ποικίλλειν:



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τῶν ἀδυνάτων. 3.37 Χυτρεοῦς θεός: ὀστράκινος, εὐτελής. 3.38 Χρυσὸς Κολοφώνιος: οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. 3.39 ** Ἐγὼ δὲ ᾤμην χρυσοχοήσειν: κέχρηται τῇ παροιμίᾳ Πλάτων· τί δὲ, ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ. ἔλαβεν ἀρχὴν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κακοπαθήσαντες ἔσκωπτον ἀλλήλους, λέγοντες σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας χρυσοχοήσειν καὶ πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησίν· ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν, λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Ψ.

3.40t Ψύρα τὸν Διόνυσον: τὰ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ, πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. 3.41 Ψεκὰς: ὁ δρόσος. οὕτως ἐκαλεῖτο Ἀντίμαχος, πτυελώδης ὤν. οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προσέῤῥαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ ὁ Ἀντίμαχος ψήφισμα πεποιηκέναι, ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. δεῖ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντι.

Ω.

3.42t Ὠσὶν ἑστῶσιν: ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα εὐτρεπιζομένων. 3.43 Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: ὅταν ἐλπίσας τὶς μεγάλα μικροῖς ἐντύχῃ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.